Et sic quoque suppositioni legislatoris suc censeri potest: quod & Plato in legibus suis censuit. Ad partem enim virtutis tota ordinatio illarum legum contendit, scilicet bellica: hæc autem vtilis ad victoriam consequendam. Itaque salui erant bellum gerentes, peribant verò vbi rerum potiti essent: quoniam nec otium agere, nec quicquam aliud exercere sciebant præstabilius, quàm rem militarem. Illud quoque erratum non sanè minus, quòd putant bona illa, quæ ad bellum pertinent, ex virtute magis quàm ex vitio fieri. & in hoc quidem rectè. sed quòd hæc potiora quàm virtutem ipsam putant, in hoc non rectè. Malè etiam circa pecunias publicas apud Spartiatas constitutum est: quia neque in publico habent quicquam, & magna bella gerere coacti pecunias ægrè conferunt. nam quia Spartiatarum est plurimum agri, non examinant inuicem collationes. & euenit legumlatori contra quàm commodum est, publicè inopiam, priuatim auaritiam inducere. De Lacedæmoniorum igitur republica hactenus dictum sit. nam hæc sunt, quæ maximè quis reprehendat.

περὶ τῆς τῶν Κρητῶν πολιτείας.

## CAPVT X.

Cretensium verò respublica huic finitima est. Habet autem quædam non deterius, sed plurima minùs nitidè. Videtur autem & fertur Lacedæmoniorum respublica in pluribus imitata Cretensem. vetusta autem pleraque rudiora sunt nouis. Ferunt enim Lycurgum post dimissam Carilli regis tutelam, cùm longo tempore peregrinaretur, in Creta plurimum fuisse diuersatum propter cognationem. erant enim Lyctij Lacedæmoniorum coloni. susceperant autem ij qui in eam coloniam venerant, instituta legum, tunc in antiquis habitatoribus obtinentia. quapropter & nunc Perieci eodem modo illis legibus vtuntur, quomodo eas Minos constituit primus. Videtur autem hæc insula ad principatum Græciæ esse nata, ac præclarè sita. cuncto nanque imminet mari: cùm ferè Græci omnes circum mare sint positi. abest enim hinc modicum à Peloponneso: illic verò ab Asiæ loco, qui circa Triopium est & Rhodum. Quare imperium maris obtinuit Minos, ac & insularum alias subegit, alias verò

κρήτη καλῶς κεῖται πρὸς τὴν ἑλλάδος ἀρχήν.

A σχεδὸν ἑτέρα βασιλεία καθέστηκε. καὶ ὡδὶ δὲ τῇ ὑποθέσει τοῦ νομοθέτου ἐπιτιμήσειεν ἄν τις, ὅπερ καὶ Πλάτων ἐν τοῖς Νόμοις ἐπιτετίμηκε. πρὸς γὰρ μέρος ἀρετῆς ἡ πᾶσα σύνταξις τῶν νόμων ἐστί, τὴν πολεμικήν· αὕτη γὰρ χρησίμη πρὸς τὸ κρατεῖν. τοιγαροῦν ἐσώζοντο μὲν πολεμοῦντες, ἀπώλλυντο δὲ ἄρξαντες, διὰ τὸ μὴ ἐπίστασθαι σχολάζειν, μηδὲ ἠσκηκέναι μηδεμίαν ἄσκησιν ἑτέραν κυριωτέραν τῆς πολεμικῆς. τοῦτο δὲ ἁμάρτημα οὐκ ἔλαττον. B νομίζουσι μὲν γὰρ γίνεσθαι τἀγαθὰ τὰ περιμάχητα, δι' ἀρετῆς μᾶλλον ἢ κακίας καὶ τοῦτο μὲν καλῶς· ὅτι μέντοι ταῦτα κρείττω τῆς ἀρετῆς ὑπολαμβάνουσιν, οὐ καλῶς. φαύλως δ' ἔχει καὶ περὶ τὰ κοινὰ χρήματα τοῖς Σπαρτιάταις. οὔτε γὰρ ἐν τῷ κοινῷ τῆς πόλεώς ἐστιν οὐδέν, πολέμοις μεγάλοις ἀναγκαζομένοις C πολεμεῖν· εἰσφέρουσί τε κακῶς. διὰ γὰρ τὸ τῶν Σπαρτιατῶν εἶναι τὴν πλείστην γῆν, οὐκ ἐξετάζουσιν ἀλλήλων τὰς εἰσφοράς. ἀποβέβηκέ τε τοὐναντίον τῷ νομοθέτῃ τοῦ συμφέροντος. τὴν μὲν γὰρ πόλιν πεποίηκεν ἀχρήματον, τοὺς δ' ἰδιώτας φιλοχρηματοῦς. περὶ μὲν οὖν τῆς Λακεδαιμονίων πολιτείας ἐπὶ τοσοῦτον εἰρήσθω. ταῦτα γάρ ἐστιν ἃ μάλιστ' ἄν τις ἐπιτιμήσειεν.

D

### Κεφάλαιον ι.

Ἡ δὲ Κρητικὴ πολιτεία, πάρεγγυς μέν ἐστι ταύτης. ἔχει δὲ, μικρὰ μὲν, οὐ χεῖρον· τὸ δὲ πλεῖον, ἧττον γλαφυρῶς. καὶ γὰρ ἔοικε, καὶ λέγεται δὲ τὰ πλεῖστα μεμιμῆσθαι τὴν Κρητικὴν πολιτείαν ἡ τῶν Λακώνων· τὰ δὲ πλεῖστα τῶν ἀρχαίων, ἧττον διήρθρωται τῶν νεωτέρων. φασὶ γὰρ τὸν Λυκοῦργον, ὅτε τὴν E ἐπιτροπείαν τὴν Χαριλάου τοῦ βασιλέως καταλιπὼν ἀπεδήμησε, τότε τὸν πλεῖστον διατρίψαι χρόνον περὶ τὴν Κρήτην διὰ τὴν συγγένειαν. ἄποικοι γὰρ οἱ Λύκτιοι τῶν Λακώνων ἦσαν. κατέλαβον δ' οἱ πρὸς τὴν ἀποικίαν ἐλθόντες, τὴν τάξιν τῶν νόμων ὑπάρχουσαν ἐν τοῖς τότε κατοικοῦσι. διὸ καὶ νῦν οἱ περίοικοι τὸν αὐτὸν τρόπον χρῶνται αὐτοῖς, F ὡς κατασκευάσαντος Μίνω πρώτου τὴν τάξιν τῶν νόμων. δοκεῖ δ' ἡ νῆσος καὶ πρὸς τὴν ἀρχὴν τὴν Ἑλληνικὴν πεφυκέναι καὶ κεῖσθαι καλῶς. πάσῃ γὰρ ἐπίκειται τῇ θαλάττῃ, σχεδὸν τῶν Ἑλλήνων ἱδρυμένων περὶ τὴν θάλασσαν πάντων. ἀπέχει γὰρ, τῇ μὲν ὀλίγον τῆς Πελοποννήσου, τῇ δὲ τῆς Ἀσίας τοῦ περὶ Τριόπιον τόπου καὶ Ῥόδου· διὸ καὶ τὴν τῆς θαλάσσης ἀρχὴν κατέσχεν ὁ Μίνως, καὶ τὰς νήσους, τὰς μὲν